A

ΔΡΑΜΑΤΟΣ ΔΕΥΤΕΡΟΥ

Σκηνὴ πέμπτη.

Τετράμετροι Καταληκτικοὶ, Ἀναπαιστικοὶ, Ἀριστοφάνειοι.

ΧΟΡΟΣ, ΧΡΕΜΥΛΟΣ, ΒΛΕΨΙΔΗΜΟΣ, ΠΕΝΙΑ.

ACTVS II. SCENA V.

Octonarij Catalectici, Anapæſtici, Ariſtophanij.

Chorvs, Chremylvs, Blepsidemvs, Pavpertas.

B

Bisetvs. Τῆς Πενίας, καὶ τῶν γερόντων ἀντιλογίαις ἐρίζόντων ὁ χορὸς ἀμφοτέρους νουθετεῖ, καὶ διδάσκει πῶς ἕκαστον δεῖ τὴν ἑαυτοῦ γνώμην ἀποφαίνεσθαι, καὶ λόγοις, καὶ πίστεσι βεβαιοῦν. ἐν ταύτῃ τῇ συνόδῳ, καὶ ὁμιλίᾳ τὸ πρᾶγμα διὰ λόγων ἀμφοτέρωθεν ἀκριβοῦται. καὶ γὰρ ἡ μὲν Πενία τὰ ἑαυτῆς ἀγαθὰ ἀπαριθμεῖ, καὶ πᾶσι συνίστησιν ἐπαινοῦσα. οἱ δὲ γέροντες τοὺς τοῦ Πλούτου καρποὺς, ὠφελείας, καὶ ἡδονὰς εἰς τὸ μεῖζον ἐξαίρουσι.

Ἀλλ᾽ ἤδη χρῆν τι λέγειν ὑμᾶς σοφὸν, ᾧ νικήσετε τήνδι,
Ἐν τοῖσι λόγοις ἀντιλέγοντες· μαλακὸν δ᾽ ἐνδώσετε μηδέν.
C
Χρ. Φανερὸν μὲν ἔγωγ᾽ οἶμαι γνῶναι, τοῦτ᾽ εἶναι πᾶσιν ὁμοίως,
Ὅτι τοὺς χρηστοὺς τῶν ἀνθρώπων εὖ πράττειν, ἐστὶ δίκαιον·
Τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους, τούτων τἀναντία δήπου.
Τοῦτ᾽ οὖν ἡμεῖς ἐπιθυμοῦντες, μόλις εὕρομεν ὥστε γενέσθαι,
D
Βούλευμα καλὸν, καὶ γενναῖον, καὶ χρήσιμον εἰς ἅπαν ἔργον.

Igitur nunc ſeria proferte, & veris rationibus illi
Obſiſtite, quò vincatis: neque quicquam admiſcete iocoſum.
Ch. Principiò hoc omnibus ex æquo puto perſpicuum & manifeſtum:
Quòd fas ſit & æquũ, frugi homines rebus gaudere ſecundis,
Prauos ex aduerſo & ſceleratos, fortuna premi iniqua.
Igitur hoc nos perpendentes, aliquando vt fiat, honeſtam
Ratione͂ iniimus, generoſam, atque ad opus hoc perficiundum

Σχόλια. Ἀλλ᾽ ἤδη χρῆν τι λέγειν] κομμάτιόν ἐστι δύο στίχων. ἢ τριῶν. οὐδέποτε δὲ ὑπερβάλλει εἰς τὸ τέταρτον. τὸ δὲ ἑξῆς, χρὴ λέγειν ὑμᾶς ἀντιλέγοντας. τὸ δὲ μέτρον ἀναπαιστικὸν τετράμετρον καταληκτικὸν εἰς συλλαβήν. δέχεται δὲ τὸ ἀναπαιστικὸν κατὰ πάσας χώρας ἀνάπαιστον, σπονδεῖον, καὶ δάκτυλον παρὰ τοῖς δραματοποιοῖς. σπανίως δὲ καὶ προκελευσματικόν. ἄλλως. ἀλλ᾽ ἤδη χρῆν τι λέγειν. ἔκθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν, ὧν τελευταῖος, τοὺς δὲ πένητας τῶν ἀνθρώπων ἁρπάζειν πρὶν καὶ καταθεῖναι. καλεῖται δὲ τοῦτο τὸ μέτρον Ἀριστοφάνειον, διὰ τὸ κατακόρως αὐτὸν τούτῳ χρήσασθαι, οὐ μὴν εὑρηκέναι πρῶτον. ἐπεὶ καὶ παρὰ Κρατίνῳ καὶ πρὸ τούτου παρ᾽ Ἐπιχάρμῳ καὶ Ἀριστοξένῳ τῷ Σελινουντίῳ Ἐπιχάρμου πρεσβυτέρῳ ὡς Ἡφαιστίων φησὶ τούτῳ τινὰ τῷ μέτρῳ μνημονεύεται γεγραμμένα. ἐπὶ ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος. ἐπὶ δὲ τῷ τέλει τῶν στίχων διπλῆ ἔξω νενευκυῖα.

E

Gerardvs. Ἀλλ᾽ ἤδη,] vt tandem modus ſit ridiculis & inſolẽtibus Chremyli, ac Bleſidemi dictis, ſimul vt certò ſciatur, illí ne, an Penia rectius ſentiat, Chorus viris ſuadet, vt nugis relictis, conentur rationibus Peniam refutare. Quod ideo factum vult Comicus, vt interim demonſtret Peniæ ſuam eſſe virtutem, quomodo antea Pluto ſuam eſſe patefecerat. Χρῆν,] pro χρὴ. ν, Atticè aſciſcitur. σοφόν. Innuit hoc verbo, quod præceſſit fuiſſe μωρόν.

F

Σχόλια. Μαλακὸν δ᾽ ἐνδώσετε μηδέν.] Ἡρόδοτος ἐν Θαλείᾳ. τὰς δὲ θηλέας ἀναμιμνησκομένας ὧν ἔλιπον τέκνων, ἐνδιδόναι μαλακὸν οὐδέν.

G

Gerardvs. Μαλακὸν,] molle, & muliebre, ſed quod virile ſit, quod rationibus adeò validis ſubnitatur, vt refelli non poſſit, & ne turpiter à muliere victi, cauſa excidatis. Incipiunt ergo quàm poſſunt ſcitiſſimè cauſam aduerſus Peniam dicere. γνῶναι τοῦτο, hoc noſſe, id eſt, τὴν τούτου γνῶσιν φανερὰν εἶναι. Simili formula loquendi vſus eſt antea Carion, cum diceret, δηλονότι καὶ τυφλῷ γνῶναι δοκεῖ τοῦθ᾽ &c. ὁμοίως, æquè iuuenibus pariter ac ſenibus, pauperibus iuxta & diuitibus. τοὺς χρηστοὺς τῶν ἀνθρώπων, genitiuus pro accuſatiuo τοὺς ἀνθρώπους. Latini hoc imitati dicunt, albi piſcium, pro piſces. ἀθέους. vocant ἀθέους qui nulla religione tenentur, Deorum cõtemptores. Cur autem ſeorſim meminit ἀθέων, cùm verbo generali, τοὺς πονηροὺς, comprehenderentur? hoc fortaſſe propter Socratem, quẽ fuiſſe inuiſum Ariſtophani ſequens comœdia quæ Νεφέλαι inſcribitur, palam arguit. Peſſimè enim apud Athenienſes audiuit, quòd Priſcos, & ciuitatis Deos non colere, iuuentutémque docere non colendos, cenſeretur. Falſiſſimum tamẽ hoc fuiſſe Xenophon ait, qui virum fuiſſe iuſtiſſimũ, & ſapientiſſimum conſtanter aſſerit. Adeò periculoſum eſt viros quamlibet doctos, cordatos & bonos inſano vulgo ſua cõſilia retegere, vt quod ſtatim & peruicaciter damnet, quod non aſſequitur. τούτων, repete τῶν ἀνθρώπων, ex hominibus autem qui mali eſſent, eos, ſcilicet ἐστι δίκαιον τἀναντία πράττειν, contrario ſe habere modo, nempe κακῶς πράττειν. Τἀναντία] aduerbium pro τὰ ἐναντία, lingua communi effertur ſingulariter τοὐναντίον. δήπου particula βεβαιωτική. τοῦ-